πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. Πῶς οὖν, αὐτὸς ὢν τοιοῦ- 2
τος, ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ᾽ ἔπαυσε μὲν τούτων πολλούς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχών, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι.
Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι 3
τούτου· ἀλλὰ, τῷ φανερὸς εἶναι τοιοῦτος ὤν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον, τοιούσδε γενήσεσθαι. Ἀλλὰ μὴν καὶ τοῦ σώματος 4
αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δὲ, ὅσα γ᾽ ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη. Ἀλλ᾽ οὐ μὴν θρυπτικός γε, οὐδὲ 5
ἀλαζονικὸς ἦν, οὔτ᾽ ἀμπεχόνῃ, οὔθ᾽ ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. οὐ μὴν οὐδ᾽ ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρή-

ἔτι δὲ] Ed. Parif. ἔτι δὲ καὶ.

πρὸς τὸ μετρίων] Ita edd. Caſt., Pariſ., Steph. et Caſel., contra in edd. vett. τῶν vitioſe, et in Leonclauianis, et Welſ. τῷ.

μικρὰ] Sc. ὄντα. Rem familiarem Socrates ipſe ſuam *quinque minarum pretio aeſtumabat*. Vid. Oecon. II, 3. In Apologia Platonis ipſe multam ſuam ad minam argenti vſque aeſtumat, hoc eſt, quantum ipſe poſſit ſoluere.

ἀρκοῦντα] Reiſkius addi vult τὰ, vt eſt c. 3, 5. verum ἀρ. refertur ad μικρὰ, ideo articulo opus non eſt. Alia eſt ratio locorum cap. 3. 5 et II. 3. 2.

§. 3. οὐδὲ πώποτε] In edd. vett., excepta Caſtalionea, et Steph. ſec. eſt οὐδέπω πωποτε, perperam.

§. 4. τούς τε] Pro τε eſt δὲ in edd. Erneſt. operarum vitio. De ipſa re vide infra III, 12.

τὸ μὲν οὖν] Apud Stobaeum p. 548 eſt τὸν μ. ο., male.

ὅσα γ᾽] In edd. vett. eſt ὅσα δ᾽. Stephanus cum Stobaeo ſimpliciter ὅσα. Sed de ſententia Erneſti reſtitui γ᾽ ex ed. Pariſ. et MS. 1, ob elegantiam.

§. 5. ἀλλ᾽ οὐ μὴν] MS. 1 ἀλλὰ μὴν οὐ. *Ern.*

ὑποδέσει] Vid. cap. 6, 2.

οὐκ ἐπράττετο χρ.] Et tamen ei obiicitur ap. Ariſtophanem Nub. 99, vt aliis Sophiſtis. Sed fortaſſe verum

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/41 gefördert von der Deutschen Forschungsgemeinschaft